www.tezaurliturgic.ro

Ἱλαρίωνος Μοναχοῦ

# Κανὼν εἰς τὸν Ἅγιον ἱερομάρτυρα Ἀντίπαν, Ἐπίσκοπον Περγάμου

Ἦχος πλ.δ'

Ἅγιον Ὄρος

2018

ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

*Ἱλαρίωνος Μοναχοῦ*

# Κανὼν εἰς τὸν Ἅγιον ἱερομάρτυρα Ἀντίπαν, Ἐπίσκοπον Περγάμου, οὗ ἡ ἀκροστιχίς κατ' «Ἀλφάβητον», ἐν δὲ τοῖς Θεοτοκίοις, «Ἱλαρίων Μ.» Ἦχος πλ.δ΄

*ᾨδὴ Α΄ Ὑγρὰν διοδεύσας.*

Ἀντίπα τρισμάκαρ θαυματουργέ, τῶν δεινοπαθούντων, ἐν ταῖς νόσοις καταφυγή, θερμῶς σοι προσπίπτων ἱκετεύω, τοῦ τῶν ὀδόντων με ἄλγους ἀπάλλαξον.

Βοῶντος εἰσάκουσον ἐκ ψυχῆς, κατωδυνομένης, τοῦ ἱκέτου σου καὶ θερμῇ, τῇ πίστει Ἀντίπα ἀθλοφόρε, καὶ τὸν ἀφόρητον πόνον μου πράϋνον.

Γενοῦ μοι βοήθεια ταχινή, τῷ παρακαλοῦντί σε ἐν πίστει καὶ κουφισμόν, τῶν πόνων μοι δὸς ἱερομάρτυς, τοῦ φιλανθρώπου Χριστοῦ τοῦ Θεοῦ ἡμῶν.

*Θεοτοκίον.*

Ἰδού σοι Παρθένε ὁ ἐναγής, προσπίπτων βοῶ σοι, πολιτείας με ῥυπαρᾶς, ἡ καθαρωτάτη πανευσπλάγχνως, πρὸ τῆς τομῆς τοῦ θανάτου ἐκλύτρωσαι.

*ᾨδὴ Γ΄ Σὺ εἶ τὸ στερέωμα.*

Δυνατὸς θεόληπτε, ὡς ὢν Ἀντίπα μακάριε, ἐν τῷ Χριστῷ, τῷ σοὶ δεομένῳ καὶ νοσοῦντι θεράπευσον.

Ἐπαχθεῖ νοσήματι, καὶ ἀλγεινῷ πιεζόμενος, μάρτυς Χριστοῦ, τοῦ Θεοῦ Ἀντίπα, ταῖς εὐχαῖς σου ἀπάλλαξον.

Ζάλης ἀνακούφισον, τῆς ἀφορήτου θεσπέσιε, ἄλγους φρικτοῦ, τῶν ὀδόντων μάκαρ, σοῦ ἐν πίστει δεόμενον.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

*Θεοτοκίον.*

Λάμψον τῇ καρδίᾳ μου, φῶς μετανοίας Πανάχραντε, ἐκ τῶν παθῶν, τῇ ἐσκοτισμένῃ, φῶς τῷ κόσμῳ ἡ τέξασα.

*ᾨδὴ Δ´ Εἰσακήκοα Κύριε.*

Ἡ μεγάλη ἀντίληψις, ἡ σὴ προφθασάτω με ἱερώτατε, ὅπως πόνων λυτρωθήσωμαι, τῶν δεινῶν Ἀντίπα τῶν κακούντων με.

Θεραπείαν μοι δώρησαι, ἱερομαρτύρων τὸ ἐγκαλλώπισμα, τῶν ἐν πίστει σοι προσπίπτοντι, δούλῳ σου Ἀντίπα παμμακάριστε.

Ἰατρὸς ἱερόαθλε, ὡς ὑπάρχων πάντων τῶν δεομένων σου, τῶν ὀδόντων μου κατεύνασον, ἀλγηδόνας ὅπως μακαρίζω σε.

*Θεοτοκίον.*

Ἀπογνόντα με πάντοθεν, Δέσποινα τοῦ κόσμου σὺ καθωδήγησον, ὥσπερ οἶδας πρὸς σωτήριον, τρίβον πρὶν ὁ θάνατος προφθάσῃ με.

*ᾨδὴ Ε´ Φώτισον ἡμᾶς.*

Κόπασον φλογμόν, ὀδυνῶν μου τὸν ἀφόρητον, ἱερουργὲ Ἀντίπα ὡς ἰατρός, τῶν δεομένων σου, πίστει σῆς ἀντιλήψεως.

Λύσιν τοῦ εὑρεῖν, σοὶ προσέρχομαι τῶν πόνων μου, Ἀντίπα θεομάκαρ, διὸ κενόν, μὴ ἀποπέμψῃς ἅγιε τὸν ἱκέτην σου.

Μάρτυς τοῦ Χριστοῦ, ἐκ τῆς νόσου με ἀπάλλαξον, θεραπευτὰ νοσούντων καὶ μιμητά, αὐτοῦ θεόφρον, ὅπως ἀεὶ γεραίρω σε.

*Θεοτοκίον.*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ῥῦσαί με Ἁγνή, ἀκαθάρτων ἐνθυμήσεων, ἡ καθαρὰ ἐν μήτρᾳ τὸν καθαρόν, ὡς συλλαβοῦσα Χριστὸν ὑπὲρ κατάληψιν.

*ᾨδὴ ΣΤ´ Τὴν δέησιν ἐκχεῶ.*

Νοσούντων σε ἰατρὸν πανέτοιμον, ἐπιστάμενος Ἀντίπα προσφεύγω, δεινοπαθῶν καὶ πιστῶς ἐξαιτοῦμαι, στεφανηφόρε τῆς σῆς ἀντιλήψεως, τῶν ἀλγηδόνων τοῦ τυχεῖν, τῶν πολλῶν μου ταχὺ ἀνακούφισον.

Ξενώσασα τοῦ Θεοῦ με ἅγιε, ἡ πληθὺς τῶν παναθέσμων κακῶν μου, καὶ ὡς εἰκός, ταῖς τοῦ σώματος νόσοις, περιπεσὼν ὀδυνῶμαι ὁ δύστηνος, σὺ τοῦ Χριστοῦ ὡς μιμητής, ἀθλοφόρε κατ᾽ ἄμφω με ἴασαι.

Ὀδόντων μου πόνον τὸν ἀφόρητον, ἐν ἡμέρᾳ κατατρύχοντα ἅμα, καὶ ἐν νυκτὶ ἱεράρχα Ἀντίπα, τῷ δραστηρίῳ φαρμάκῳ κατάπαυσον, τῶν εὐπροσδέκτων σου εὐχῶν, ὅπως ὕμνοις ἀεὶ μακαρίζω σε.

*Θεοτοκίον.*

Ἰάσεων ὡς πηγὴ ὑπάρχουσα, τῶν καμνόντων Θεοτόκε Παρθένε, κἀμὲ τὸν σὸν πανευσπλάγχνως ἱκέτην, ἐκ χρονιζόντων με νόσων ἀπάλλαξον, τὸν κεκτημένον νοσηράν, ἐσαεὶ τῆς ψυχῆς μου διάθεσιν.

*ᾨδὴ Ζ´ Παῖδες Ἑβραίων.*

Πόνων δεινῶν ἱερομάρτυς, τῶν ὀδόντων με ἀπάλλαξον Ἀντίπα, ἀρρωστούντων ὡς ὢν, ταχεῖα ἰατρεία, καὶ τῶν ἐν περιστάσεσι, δεομένων ἀντιλήπτωρ.

Ῥεῖθρα προχέεις ἰαμάτων, τοῖς αἰτοῦσί σε ἀφθόνως θεοφόρε, τῆς Περγάμου ποιμήν, κἀμοῦ σου δεομένου, τὸ ἄλγος καταπράϋνον, τῶν ὀδόντων ἀθλοφόρε.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Στῆσον Ἀντίπα ἱεράρχα, τὸ κλυδώνιον μοττώσει τῶν εὐχῶν σου, ὀδυνῶν μου νυνί, δεινῶς κατατρυχόντων, ὅπως τῶν θαυμασίων σου, τὴν πληθὺν ἀνακηρύττω.

*Θεοτοκίον.*

Ὢ τῷ εἰς πλῆθος ἐμπεσόντι, νοσημάτων ψυχῆς καὶ σώματος ἐφάπαξ, σύ με ταύτης Ἁγνή, τῆς κρίσεως ὡς οἶδας, καὶ βούλει ἐλευθέρωσον, τὸν ἀχρεῖόν σου ἱκέτην.

*ᾨδὴ Η΄ Τὸν Βασιλέα τῶν οὐρανῶν.*

Τῶν μαστιζόντων με ὀδυνῶν τῶν ὀδόντων, ἱερόαθλε Πάτερ Ἀντίπα, λύτρωσαι ἐν τάχει πιστῶς σου δεομένῳ.

Ὑπερβολὴν τῶν φρικτῶν ἀλγηδόνων, καταπράϋνον τοῦ σοῦ ἱκέτου, σοὶ θερμῇ τῇ πίστει προσπίπτοντος τρισμάκαρ.

Φωνῆς τοῦ δούλου σου ὀδυνωμένου, Πάτερ ἄκουσον ὡς τοῦ Δεσπότου, μιμητὴς Ἀντίπα, καὶ ἴασιν παράσχου.

*Θεοτοκίον.*

Νόμων τῆς φύσεως, δίχα Παρθένε, τὸν Θεὸν ἡ τέξασα παράσχου, ἴασιν τῶν νόσων μου, ὡς πάντα δυναμένη.

*ᾨδὴ Θ΄ Κυρίως Θεοτόκον.*

Χειλέων Ἱεράρχα τῶν ὀδυνωμένων, καὶ δεομένων σου ἅμα ἐπάκουσον, καὶ ἀλγηδόνων ὀξύτητα καταπράϋνον.

Ψυχῶν καὶ τῶν σωμάτων, θεῖος ὡς ἀκέστωρ, κἀμοὶ νοσοῦντι Ἀντίπα τὴν ἴασιν, μαρτύρων κλέος πρυτάνευσον δέομαι.


ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

ᾨδὴν στεφανηφόρε, τοῦ Χριστοῦ Ἀντίπα, τὴν ἄμουσόν μου προσφέρων σοι ἔπιδε, καὶ χαλεπῆς ἀλγηδόνος με ἐλευθέρωσον.

*Θεοτοκίον.*

Μαρία τοῦ Θεοῦ μου, Μήτηρ οἷα Μήτηρ, τῶν ἐν τῷ Ἄθῳ Πατέρων, κἀμὲ τὸν ἔσχατον, τῆς μετανοίας τῇ τρίβῳ Κόρη ὁδήγησον.

*Προσόμοια. Ὢ τοῦ παραδόξου θαύματος. Ἦχος πλ.δ΄*

Ὥσπερ τηλαυγὴς ἐξέλαμψας, ἐκ τῆς ἑώας ἀστήρ, ταῖς βολαῖς τῶν θαυμάτων σου, καταυγάζων ἅπαντας, τοὺς πιστῶς προσιόντας σοι, Ἀντίπα ἔνδοξε ἱερόαθλε, τῆς Ἐκκλησίας τὸ ἐγκαλλώπισμα, κἀμοὶ τῷ δούλῳ σου, δεομένῳ δώρησαι ἀπαλλαγήν, τῶν κατατρυχόντων με πόνων ὡς εὔσπλαγχνος.

Ἔρωτι θείῳ φλεγόμενος, διὰ Χριστὸν τὸν Θεόν, εἰς οὐδέν σοι λελόγισται, γενναιόφρον ἅπασα, τῶν κολάσεων δύναμις, τὰ ἄνω ὅθεν ἐνοπτριζόμενος, καμίνου φλόγα ὅλως οὐκ ἔπτηξας, διὸ ἀπείληφας, πρὸς Χριστοῦ τὴν χάριν τοῦ θαυματουργεῖν, τοῖς προσκαλουμένοις σε ἐν πίστει ἅγιε.

Πόνους τῶν ὀδόντων εἴληφας, παρὰ Χριστοῦ τοῦ Θεοῦ, θεραπεύειν μακάριε, χάριν ἱερώτατε, ὡς αὐτοῦ γνησιώτατος, καὶ τροπαιοῦχος μάρτυς πανένδοξε, τὸ τῆς Περγάμου Ἀντίπα καύχημα, καὶ νῦν τοῦ δούλου σου, τοῦ σὲ ἱκετεύοντος Πάτερ θερμῶς, τῶν ὀδόντων πράϋνον, ἄλγος ἀφόρητον.

Κόσμον τοῦ θανάτου Δέσποινα, λυτρωσαμένη τῷ σῷ, τοκετῷ κατηξίωσας, τῆς ζωῆς τῆς ὕπερθεν, τῆς ἀλήκτου θεόνυμφε, καὶ μακαρίοις ἐν ᾗπερ φαίνουσι, τῶν οὐρανίων νόων λαμπρότητες, ταύτης τοὺς δούλους σου, τοὺς ὁμολογοῦντάς σε εἰλικρινῶς, ὡς Μητέρα Πάναγνε, Θεοῦ ἀξίωσον.